καὶ τούτῳ τῷ ὀνόματι οὕτως χρῆται ὁ Ἡρόδοτος. Στίβαρα] ἰσχυρά, στερρή.

Bisetvs. Στραγγεύει] στραγγεία, ἡ δυσουρία, ὅθεν τὸ στραγγευάω, ῶ. ἐπιχείρημα δὲ ἐστὶν οὔρων τὸ κάρδαμα, καὶ πλύσματος. καὶ διὰ τοῦτο φασὶ τοὺς Πέρσας αὐτοῖς χρῆσθαι. φυλάττον] γὰρ πολλὰ πλύειν, καὶ οὐρεῖν καὶ ἀπομύττεσθαι. Σ. Τί καρδαμίζεις] κάρδαμον, δριμυτάτης βοτάνης εἶδος. κωμικῶς δὲ, καὶ γέλωτος χάριν Ἀριστοφάνης τὸ ῥῆμα καρδαμίζω ἐσχημάτισεν. ὁ δὲ νοῦς ἐστί. Τί νῦν κάρδαμα προφασίζεις; τί νῦν ὀξυδερκῶς, καὶ δριμέως τὰ κάρδαμα προβάλλεις, καὶ περὶ τούτων σοφίζῃ; ἐν δὲ τῇ λέξει κάρδαμον, καὶ τῷ ἀπ' αὐτῆς πεποιημένῳ ῥήματι ὁ κωμικὸς παίζει. Τὸν δεῖνα] τὸ δεῖνα τοῖς ἄρθροις τοῖς προτακτικοῖς οὕτω συντάσσεται, ὁ, ἡ, τὸ δεῖνα. τοῦ, τῆς, τοῦ δεῖνος, καὶ δεῖνατος. τῷ, τῇ, τῷ δεῖνι, καὶ δεῖνατι. τὸν, τὴν, τὸ δεῖνα. λέγεται καὶ ὁ, τοῦ, τῷ, καὶ τὸν δεῖνα ἀκλίτως. ταύτῃ δὲ τῇ λέξει χαριέντως χρώμεθα ὅταν περὶ τινὸς λαλοῦντες, τοῦ κυρίου ὀνόματος οὐ μνημονεύομεν, ἢ οὐ μνημονεύειν προσποιούμεθα, οὐκ ἐθέλοντες, καὶ ἀποροῦντες τοῦτο λέγειν. ἢ παντελῶς οὐ δυνάμεθα. ὅπερ ἐνταῦθα τῷ Μνησιλόχῳ ἀπρονοήτως συνέβη. Ἐκ Κοθωκιδῶν] Κοθωκίδαι, δῆμος. τούτου Δημοσθένης μνημονεύει ἐν τῷ περὶ

A στεφάνου, οὕτω λέγων, Πρέσβεις ᾑρέθησαν Εὔβουλος Ἀναφλύστιος, Αἰσχίνης Κοθωκίδης, Κτησιφῶν Ῥαμνούσιος, Κλέων Κοθωκίδης. Συσκηνήτρια] σύσκηνος, σύνοικος. τὸ θηλυκὸν συσκηνήτρια, ὡς προμνήστρια. Σκαφίον] Πολυδεύκης ἐν τῷ τοῦ δεκάτου κεφαλαίῳ, ὅ ἐστι περὶ τῶν εἰς ἀπόπατον ἀναγκαίων, οὕτω γράφει. καὶ δίφρον δ' ἂν εἴποις τὰ λάσανα εὐφημότερον, καὶ διφρίσκον. Τῇ δὲ γυναικὶ, σκαφίον αὐτῇ παρῆν. ἄμφω δὲ παράλληλα ἐν Πολυείδῳ Ἀριστοφάνους. σκαφίον Ξένυλλ' ᾔτησεν. οὐ γὰρ ἦν ἀμίς. ἐκ δὲ τούτων δῆλον τὸ σκαφίον εἶδός τι χρείας ἄγγους

B γυναικείου πρὸς τὸ ἐναποπατεῖν, ἢ ἐνουρεῖν ἐπιτήδειον. ἐν τῷ μεγάλῳ ἐτυμολογικῷ γέγραπται, σκαφὶς, ὁ καδίσκος, ἐν ᾧ κατέχεον (π. κατέχεζον.) αἱ γυναῖκες. ἐκαλεῖτο δὲ οὕτως, ἐπεὶ καὶ σκάφη εἶδός τι πλοίου. καὶ ὁμοιότροπός ἐστι τῷ πλοίῳ ὁ καδίσκος. Ἄλλως. σκαφὶς, ξύλινον ἀγγεῖον, στρογγύλον, γάλακτος, ἢ ὀροῦ δεκτικόν. σημείωσαι δὲ ἐνταῦθα ἴσως γραπτέον ὡς ἐν τῷ Πολυδεύκει. Σκαφίον Ξένυλλ' ᾔτησεν. ὡς τὸ Ξένυλλα ὄνομα κύριον εἴη τινὸς γυναικός. Τὸ στρόφιον] τὸ στρογγύλον ζωνάριον. στιβαρὰ δὲ, εὔρωστος, εὔτονος, ἰσχυρά. ἀλλαχοῦ δὲ στιβαρὸς, ὁ στερρὸς,

C καὶ βαρύς.

Καὶ νὴ Δία τιτθοὺς γ' ὥσπερ ἡμεῖς οὐκ ἔχει.
Μν. Στερίφη γάρ εἰμι κοὐκ ἐκύησα πώποτε.
Γυ. Νῦν τότε δὴ μήτηρ ἦσθα παίδων ἐννέα.
D Ἀνίστασ' ὀρθός. ποῖ τὸ πέος ὠθεῖς κάτω.
Μν. Τοδὶ δή. Γυ. ἔκυψε καὶ μάλ' εὔχρων ὦ τάλαν.
Κλ. Καὶ ποῦ 'στιν. Γυ. αὖθις ἐς τὸ πρόσθεν οἴχεται.
Κλ. Οὐκ ἔνγε ταυθί; Μν. ἀλλὰ δεῦρ' ἥκει πάλιν.
Κλ. Ἰσθμόν τιν' ἔχεις ἄνθρωπε. ἄνω τε, καὶ κάτω
E Τὸ πέος διέλκεις πυκνότερον Κορινθίων.
Γυ. Ὦ μιαρὸς οὗτος ταῦτ' ἄρ' Εὐριπίδου
Ἡμῖν ἐλοιδορεῖτο. Μν. Κακοδαίμων ἐγώ.
Εἰς οἷ' ἐμαυτὸν εἰσεκύλισα πράγματα.
Γυ. Ἄγε δὴ τί δρῶμεν. τουτονὶ φυλάττετε
Καλῶς. ὅπως μὴ διαφυγὼν οἴχεται.
Ἐγὼ δὲ ταῦτα τοῖς Πρυτάνεσιν ἀγγελῶ.

*Et profectò mammas quidem sicut nos non habet.*
*SOC. Sterilis enim sum, & non vterum gestaui vnquam.*
*MVL. Nunc dicis te esse sterilem, tunc verò mater eras puerorum nouem.*
*Surge erectus, quò membrum virile impellis deorsum?*
*Hoc iam veretrum inclinauit, & bene magnum & coloratum est ô miser.*
*CL. Et vbinam est? MN. rursus in anteriorem partem abit.*
*CL. Nónne hic est? MN. sed huc venit rursus.*
*CLI. Veretrum distrahis frequentius Corinthijs,*
*MVL. Scelestus hic propterea igitur pro Euripide*
*Nobis conuicia faciebat. MN. miser ego,*
*In quas meipsum rotaui & impuli molestias.*
*MVL. Age verò quid faciamus? hunc custodite*
*Bene, vt ne fugiens & elapsus abeat:*
*Ego verò hæc consulibus nunciabo.*

Bovrdinvs. Τιτθούς.] τιτθοὶ οἱ μαστοὶ ἢ τῶν μαστῶν τ' ἄκρα. Στερίφη.] μὴ τίκτουσα τοὺς παῖδας, καὶ διὰ τοῦτο οὐκ ἔχω μαστοὺς, ὥσπερ αἱ ἄλλαι γυναῖκες αἱ παῖδας τίκτουσαι. Τὸ πέος.] τὸ αἰδοῖον. Ὠθεῖς] προωθεῖς καὶ καταβάλλεις. Εὔχρων] εὖ κεχρωματισμένον. Οἴχεται.] ἐπανέρχεται. Διέλκεις] διασπᾷς, διαστρέφεις καὶ κυλινδεῖς. Κορινθίων.] οἵπερ κακῶς ἀκούουσιν καὶ διαβάλλονται ἐπὶ τῇ πορνείᾳ καὶ ἀμετρίᾳ περὶ τὰς αἰσχίστας ἡδονάς. Εἰσεκύλισα] κατέστησα, ἐνεβαλόμην, ἐνέπλεξα. Τοῖς πρυτάνεσιν ἀγγελῶ.] ὥστε δίκην καὶ τιμωρίαν λαβεῖν τούτου τοῦ ἀδικήματος τοῦ κηδεστοῦ. Πρυτάνεις δ' ἦν τὸ δέκατον μέρος τῆς φυλῆς τῶν πεντακοσίων δηλονότι πεντήκοντ' ἄνδρες, ἀπὸ μιᾶς φυλῆς διοικοῦντες πάντα τὰ ὑποταττόμενα ὑπὸ τῆς βουλῆς. ἐπρυτάνευον γὰρ ἐκ διαδοχῆς ἀλλήλαις αἱ δέκα φυλαὶ κλήρῳ λαχοῦσαι,

F ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος λέγει, καὶ ἐκ τούτου πρυτανεύειν ἀντὶ τοῦ διοικεῖν τίθεται.

Bisetvs. Στερίφη] στεῖρα, ἡ μὴ τεκοῦσα. Σ. Ἰσθμόν τιν' ἔχεις] οὗτος ὁ στίχος ἐν πᾶσι τοῖς Ἀριστοφάνους ἀντιγράφοις ἐλλείπει. νῦν δὲ τοῦτον ἐκ τοῦ Σουΐδα κατὰ τὸν ἑαυτοῦ ἴδιον τρόπον καταχωρίζειν πάρεστιν. οὕτω γὰρ ἐκεῖνος ἐν τῷ Ἰσθμός. Ἰσθμός, φησι, θάλασσα μεταξὺ δύο γαιῶν. πορθμὸς δὲ, γῆ μεταξὺ δύο θαλασσῶν.

G Ἀριστοφάνης.

Ἰσθμόν τιν' ἔχεις ἄνθρωπε. ἄνω τε, καὶ κάτω
Τὸ πέος διέλκεις πυκνότερον Κορινθίων.

ἐπεί, φησιν ὁ Σουΐδας, τὰς ναῦς διὰ τοῦ ἰσθμοῦ εἷλκον οἱ Κορίνθιοι, ὥστε μὴ περιέχεσθαι. τοῦτο δὲ διισθμονίσαι ἐκάλουν.